# ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ

1 Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος ὁ
ἀδελφὸς Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν
2 καὶ Ἀπφίᾳ τῇ ⸀ἀδελφῇ* καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ
ἡμῶν καὶ τῇ κατ’ οἶκόν σου ἐκκλησίᾳ·
3 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ
κυρίου Ἰησοῦ Χριστοῦ.
4 Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε μνείαν σου
ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,
5 ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις
⸀πρὸς† τὸν κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους,
6 ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν
ἐπιγνώσει παντὸς ἀγαθοῦ ⸀τοῦ‡ ἐν ἡμῖν εἰς ⸀Χριστόν§
7 ⸀χαρὰν* γὰρ ⸂πολλὴν ἔσχον† καὶ παράκλησιν ἐπὶ τῇ
ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ
σοῦ, ἀδελφέ.
8 Διό, πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι
τὸ ἀνῆκον,
9 διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοιοῦτος ὢν ὡς
Παῦλος πρεσβύτης νυνὶ δὲ καὶ δέσμιος ⸂Χριστοῦ Ἰησοῦ‡—
10 παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν
τοῖς ⸀δεσμοῖς§ Ὀνήσιμον,

---

* **1:2** ἀδελφῇ WH Treg NA28 ] ἀγαπητῇ RP † **1:5** πρὸς NA28 RP ] εἰς WH Treg ‡ **1:6** τοῦ WH NA28 RP ] – Treg § **1:6** Χριστόν WH Treg NA28 ] + Ἰησοῦν RP * **1:7** χαρὰν WH Treg NA28 ] Χάριν RP † **1:7** πολλὴν ἔσχον WH Treg NA28 ] ἔχομεν πολλὴν RP ‡ **1:9** Χριστοῦ Ἰησοῦ WH Treg NA28 ] Ἰησοῦ Χριστοῦ RP § **1:10** δεσμοῖς WH Treg NA28 ] + μου RP

11 τόν ποτέ σοι ἄχρηστον νυνὶ ⸀δὲ*σοὶ καὶ ἐμοὶ
εὔχρηστον,
12 ὃν ἀνέπεμψά ⸀σοι αὐτόν, τοῦτ᾽ ἔστιν τὰ ἐμὰ
σπλάγχνα†·
13 ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ
σοῦ ⸀μοι διακονῇ‡ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου,
14 χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα
μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ ἀλλὰ κατὰ ἑκούσιον·
15 τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν ἵνα αἰώνιον
αὐτὸν ἀπέχῃς,
16 οὐκέτι ὡς δοῦλον ἀλλὰ ὑπὲρ δοῦλον, ἀδελφὸν
ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ
καὶ ἐν κυρίῳ.
17 Εἰ οὖν με ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ.
18 εἰ δέ τι ἠδίκησέν σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ⸀ἐλλόγα§
19 ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω· ἵνα
μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.
20 ναί, ἀδελφέ, ἐγώ σου ὀναίμην ἐν κυρίῳ· ἀνάπαυσόν
μου τὰ σπλάγχνα ἐν ⸀Χριστῷ*
21 πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ
ὑπὲρ ⸀ἃ†λέγω ποιήσεις.
22 ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν, ἐλπίζω γὰρ ὅτι διὰ
τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.
23 ⸀Ἀσπάζεταί‡σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν
Χριστῷ Ἰησοῦ,
24 Μᾶρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί
μου.

* **1:11** δὲ WH Treg RP ] + καὶ NA28 † **1:12** σοι αὐτόν … σπλάγχνα WH Treg NA28 ] σὺ δὲ αὐτόν … σπλάγχνα προσλαβοῦ RP ‡ **1:13** μοι διακονῇ WH Treg NA28 ] διακονῇ μοι RP § **1:18** ἐλλόγα WH Treg NA28 ] ἐλλόγει RP * **1:20** Χριστῷ WH Treg NA28 ] κυρίῳ RP † **1:21** ἃ WH Treg NA28 ] ὃ RP ‡ **1:23** Ἀσπάζεταί WH Treg NA28 ] Ἀσπάζονταί RP

25 Ἡ χάρις τοῦ ⸀κυρίου§ Ἰησοῦ Χριστοῦ μετὰ τοῦ
πνεύματος ⸀ὑμῶν* ‘p /’ ‘/book’

§ **1:25** κυρίου WH NA28 ] + ἡμῶν Treg RP * **1:25** ὑμῶν WH Treg NA28 ] + Ἀμήν RP

# Η Καινή Διαθήκη
# The Greek New Testament: SBL Edition

copyright © 2010 Society of Biblical Literature and Logos Bible Software

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Ancient

Updated to source dated 2023-07-10 from https://github.com/LogosBible/SBLGNT

This translation is made available to you under the terms of the Creative Commons Attribution license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:

- You include the above copyright and source information.
- If you make any changes to the text, you must indicate that you did so in a way that makes it clear that the original licensor is not necessarily endorsing your changes.

Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.
Note that in addition to the rules above, revising and adapting God's Word involves a great responsibility to be true to God's Word. See Revelation 22:18-19.

2025-12-19

---

PDF generated using Haiola and XeLaTeX on 19 Dec 2025 from source files dated 19 Dec 2025
481db0ad-89b5-5f26-acd4-a04def98bd07